www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΑΝΔΡΩΑ ΙΕΡΑ ΜΟΝΗ ΑΓΙΑΣ ΘΕΟΔΩΡΑΣ ΘΕΣ/ΝΙΚΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

## Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Εὐσταθίου τοῦ θαυματουργοῦ Ἀρχιεπισκόπου Θεσσαλονίκης

ΨΑΛΛΟΜΕΝΗ Τῌ Κ΄ ΣΕΠΤΕΜΒΡΙΟΥ

Ἐποιήθη ἐν τῷ Ἁγίῳ Ὄρει
ὑπὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

ΠΡΟΝΟΙᾼ
ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ
ΘΕΣΣΑΛΟΝΙΚΗΣ Κ.Κ. ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ Β΄

IC XC
NI KA

ΘΕΣΣΑΛΟΝΙΚΗ 1988

www.tezaurliturgic.ro

# ΣΕΠΤΕΜΒΡΙΟΥ κ'.

# Μνήμη τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν **Εὐσταθίου Ἀρχιεπισκόπου** Θεσσαλονίκης.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν Στίχους δ', καί ψάλλομεν τά ἑξῆς Προσόμοια:

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἀπό ρίζης εὐκλεοῦς, ἄνθος εὐωδέστατον ἔφυς, Πάτερ Εὐστάθιε, τότε τήν τοῦ Πνεύματος ὀσμήν διέπνευσας, τῇ τοῦ βίου λαμπρότητι, καί τήν Ἐκκλησίαν, πᾶσαν εὐωδίασας, λόγοις καί πράξεσι· πάσῃ ἀρετῇ γάρ ἐκλάμψας, ὤφθης τῆς σοφίας τῆς θείας, ἅμα καί τῆς θύραθεν θησαύρισμα.

Ὅτε ἐπινεύσει θεϊκῇ, τῆς ἱερωσύνης ἐδέξω, Πάτερ τό χάρισμα, τότε ἐνθεώτατος ποιμήν καί πρόεδρος, ἀνεδείχθης Εὐστάθιε, τῆς Θεσσαλονίκης, πάσης Ἐκκλησίας δέ, φωστήρ πολύφωτος· ὅθεν σύν Ἀγγέλοις χορεύων, πρέσβευε Χριστῷ Ἱεράρχα, ὑπέρ τῶν ἐν ὕμνοις γεραιρόντων σε.

Μέγας ἐν σοφίᾳ γεγονώς, τοῦ Εὐαγγελίου ἐδείχθης, μύστης θεόσοφος, Πάτερ καί περίβλεπτος ἐνθέοις πράξεσι, τήν ψυχήν σου προθέμενος, ὑπέρ τοῦ ποιμνίου, ὡς Χριστοῦ διάκονος, καί μαθητής ἀληθής· ὅθεν ἐπαξίως τῶν πόνων, παρά τοῦ Σωτῆρος ἐδέξω, ἀμοιβάς Εὐστάθιε μακάριε.

Λόγῳ καί σοφίᾳ ἀληθεῖ, Θεσσαλονικέων ποιμάνας, τήν Ἐκκλησίαν καλῶς, Ἅγιε Εὐστάθιε, Ἀρχιεράρχα Χριστοῦ, εὐσεβείας διδάσκαλος, καί στῦλος ἐδείχθης, ὁδηγῶν πρός ἔνθεον, βίον τοῖς τρόποις σου. Ὅθεν τήν ἁγίαν σου μνήμην, πόθῳ ἑορτάζοντές Πάτερ, τόν σέ θαυμαστώσαντα δοξάζομεν.

Δόξα. Ἦχος β'.

Ἱεραρχίας τήν στολήν δεξάμενος, μυσταγωγός τῆς χάριτος θεόσοφος, ὡς Ἀποστόλων μιμητής, ἐχρημάτισας Εὐστάθιε· εὐσεβῶς γάρ ποιμάνας, τήν ἐν Θεσσαλονίκῃ ἁγίαν Ἐκκλησίαν, τῶν Ἁγίων κοινωνός γέγονας, καί τῆς σκηνῆς τῆς ἀληθινῆς κληρονόμος, ἥν ἔπηξεν ὁ Κύριος καί οὐκ ἄνθρωπος· διό δυσωποῦμέν σε, ἀδιαλείπτως πρεσβεύειν, ὑπέρ ἡμῶν τῶν τιμώντων σε, Πάτερ Ὅσιε.

Καί νῦν. Ὁ αὐτός.

Σύ μου σκέπη κραταιά ὑπάρχεις, ὁ τριμερής Σταυρός τοῦ Χριστοῦ· ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καί πόθῳ, προσκυνῶ καί δοξάζω σε.

www.tezaurliturgic.ro

## ΑΠΟΣΤΙΧΑ

### Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Μέγας ἐν ἀρεταῖς, Εὐστάθιε ἐδείχθης, καί ἐναρέτου βίου, ὑπογραμμός ἐν πᾶσιν, ὡς Ἱεράρχης Ὅσιος.

Στίχ.: Τό στόμα μου λαλήσει σοφίαν...

Χαίρεις Ἱεραρχῶν, ἀγλάϊσμα καί γέρας, Εὐστάθιε παμμάκαρ, καί Θεσσαλονικέων, μεσίτης πρός τόν Κύριον.

Στίχ.: Στόμα δικαίου μελετήσει σοφίαν...

Αἴτει παρά Θεοῦ, συγχώρησιν πταισμάτων, καί φῶς καί σωτηρίαν, Εὐστάθιε τοῖς πόθῳ, γεραίρουσι τήν μνήμην σου.

### Δόξα. Τριαδικόν.

Δόγμασιν ἱεροῖς, Τρισήλιε Θεότης, Εὐστάθιος ὁ θεῖος, κηρύττει σου τήν δόξαν, ὡς πλήρης θείας χάριτος.

### Καί νῦν. Θεοτοκίον.

Σάρκα ἐκ τῶν ἁγνῶν, αἱμάτων σου ὁ Λόγος, λαβών ἀνερμηνεύτως, διπλοῦς τῷ κόσμῳ ὤφθη, Παρθένε Θεονύμφευτε.

Νῦν ἀπολύεις, τό Τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καί Ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Μετά τόν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δέ τό, Κύριε ἐκέκραξα ἱστῶμεν Στίχους στ', καί ψάλλομεν τά ἑξῆς Προσόμοια:*

*Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Εὐσεβείας ταῖς χάρισι, διαλάμπων Εὐστάθιε, τῆς σοφίας γέγονας ἐνδιαίτημα, καί ἀρετῶν στήλη ἔμψυχος, καί θεῖος διδάσκαλος, ἐναρέτου ἀγωγῆς, διά λόγου καί πράξεως, ἄγων ἅπαντας, πρός ζωῆς αἰωνίου ἐπιδόσεις, ὡς θεράπων τῆς Τριάδος, καί ὑποφήτης τῆς χάριτος.

Ὡς τῇ ψήφῳ τῇ ἄνωθεν, Ἱεράρχης θεόληπτος, ἱερέ Εὐστάθιε ἐχρημάτισας, θεοπρεπῶς ἱεράτευσας, Χριστῷ τῷ Παντάνακτι, διανοίᾳ καθαρᾷ, καί αὐτῷ προσενήνοχας, τά τοῦ βίου σου, κατορθώματα Πάτερ ὡς θυσίαν· διά τοῦτο ἠξιώθης, τῆς οὐρανίου λαμπρότητος.

Καί τῷ βίῳ περίβλεπτος, καί τῷ λόγῳ πολύσοφος, ἱερέ Εὐστάθιε ἀναδέδειξαι, καί ποιμενάρχης περίδοξος, ὡς μύστης οὐράνιος, καί φωστήρ θεοειδής, ἀληθῶς ὤφθης Ὅσιε, θείῳ Πνεύματι, Ἐκκλησίας τῆς ἐν Θεσσαλονίκῃ· διά τοῦτο τήν ἁγίαν, πανηγυρίζομεν μνήμην σου.

Τῆς σοφίας τήν σάλπιγγα, τό τοῦ Πνεύματος ὄργανον, Θεσσαλονικέων τόν θεῖον πρόεδρον, τόν θεηγόρον Εὐστάθιον, τό στόμα τό εὔσημον, τῶν ἐνθέων διδαχῶν, καί δογμάτων τῆς πίστεως, τόν ἐκφάντορα, ἀνυμνήσωμεν πάντες ἐπαξίως, ὡς θεράποντα Κυρίου, καί Ἐκκλησίας ἀγλάϊσμα.

Ἀποστόλων μιμούμενος, ζῆλον Πάτερ τόν ἔνθεον, τούτων τά διδάγματα τά σωτήρια, λόγῳ σοφῷ ἐγεώργησας, καρδίας ταῖς αὔλαξι, τοῦ ποιμνίου σου σαφῶς, καί αὐτό προσενήνοχας, τῷ Παντάνακτι, εὐθηνούμενον πράξεσιν ἁγίοις· διά τοῦτο κατά χρέος, Θεσσαλονίκη γεραίρει σε.

Ἀρετῶν τελειότητι, λαμπροτέραν ἀνέδειξας, τήν στολήν τήν ἔνθεον Πάτερ Ὅσιε, καί ὡς ἀστήρ οὐρανόφωτος, ἐκλάμψας Εὐστάθιε, Ἐκκλησίᾳ τοῦ Χριστοῦ, πρός αὐτόν χαίρων ἔδραμες, ὡς ἐτέλεσας, τόν ἀγῶνα τόν θεῖον Ἱεράρχα, καί ἀπέλαβες ἀξίως, τάς ἀμοιβάς τῶν καμάτων σου.

*Δόξα. Ἦχος πλ. δ'.*

Τῆς σοφίας τῷ φωτί, λαμπρύνας τήν ζωήν, περιφανής ἐν Ἱεράρχαις ὤφθης, ἱερώτατε Εὐστάθιε· τό γάρ Πνεῦμα τό Ἅγιον, τῇ καθαρᾷ σου ψυχῇ σκηνῶσαν, ἀειλαμπῆ σε φωστῆρα ἔδειξε τῆς εὐσεβείας καί τῆς ἐν Θεσσαλονίκῃ ἁγίας Ἐκκλησίας, ποιμένα ὅσιον, καί μεσίτην πρός Χριστόν ἀξιόθεον· Εὐαγγελικῶς γάρ ἐποίμανας τόν λαόν τοῦ Θεοῦ, σεαυτόν ὑπογραμμόν πᾶσι προθέμενος. Καί νῦν Πάτερ Ὅσιε, τάς ὑπέρ ἡμῶν ἱλαστηρίους, μή παύσῃ ἀναφέρων Χριστῷ, πρός σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*Καί νῦν. Ὁ αὐτός.*

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τόν Ἀμαλήκ καταβαλών ἐτροπώσατο· καί Δαβίδ ὁ μελῳδός, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο, τίμιον Σταυρόν σου Χριστέ ὁ Θεός, σήμερον ἁμαρτωλοί προσκυνοῦντες χείλεσιν ἀναξίοις, σέ τόν καταξιώσαντα, παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν

www.tezaurliturgic.ro

σοι· Κύριε, σύν τῷ Ληστῇ τῆς βασιλείας σου ἀξίωσον ἡμᾶς.

**Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.**

**Παροιμιῶν τό Ἀνάγνωσμα.**

**(Κεφ. ι' 7, γ' 13)**

Μνήμη δικαίου μετ' ἐγκωμίων, καί εὐλογία Κυρίου ἐπικεφαλήν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὅς εὗρε σοφίαν, καί θνητός, ὅς εἶδε φρόνησιν. Κρεῖσσον γάρ αὐτήν ἐμπορεύεσθαι, ἤ χρυσίου καί ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δέ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γάρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δέ καί ἔλεον ἐπί γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνά γάρ ἐρῶ. Καί μακάριος ἄνθρωπος, ὅς τάς ἐμάς ὁδούς φυλάξει. Αἱ γάρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καί ἑτοιμάζεται θέλησις παρά Κυρίου. Διά τοῦτο παρακαλῶ ὑμᾶς, καί προΐεμαι ἐμήν φωνήν υἱοῖς ἀνθρώπων· Ὅτι ἐγώ ἡ σοφία κατεσκεύασα βουλήν, καί γνῶσιν, καί ἔννοιαν· ἐγώ ἐπεκαλεσάμην. Ἐμή βουλή καί ἀσφάλεια, ἐμή φρόνησις, ἐμή δέ ἰσχύς. Ἐγώ τούς ἐμέ φιλοῦντας ἀγαπῶ, οἱ δέ ἐμέ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δέ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καί πάλιν· σεμνά γάρ ἐρῶ, καί ἀνοίγω ἀπό χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δέ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετά δικαιοσύνης πάντα τά ῥήματα τοῦ στόματός μου, οὐδέν ἐν αὐτοῖς σκολιόν, οὐδέ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστί τοῖς νοοῦσι, καί ὀρθά τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γάρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπίς ὑμῶν, καί πλησθήσεσθε Πνεύματος.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.**

**(Κεφ. δ' 7)**

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις, καί ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος, ἀμαυροῖ τά καλά, καί ῥεμβασμός ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί ἰδόντες, καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.**

**(Παροιμ. Κεφ. δ' 14)**

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δέ σοφῶν ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν. Δικαιοσύνη δέ ῥύεται αὐτούς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱός γάρ δίκαιος γεννᾶται εἰς ζωήν· καί ἐν ἀγαθοῖς αὐτοῦ καρπόν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διά παντός, καί παρά Κυρίου εὑρήσουσι χάριν καί δόξαν. Γλῶσσα σοφῶν καλά ἐπίσταται· καί ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοί δέ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γάρ τούς ἐπιθυμοῦντας αὐτήν, πρό τοῦ γνωσθῆναι, καί εὐχερῶς θεωρεῖται ὑπό τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρός αὐτήν, οὐ κοπιάσει· καί ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τούς ἀξίους αὐτῆς αὐτή περιέρχεται ζητοῦσα, καί ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτέ κακία. Διά ταῦτα καί ἐραστής ἐγενόμην τοῦ κάλλους αὐτῆς καί ἐφίλησα ταύτην καί ἐξεζήτησα ἐκ νεότητός μου, καί ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ· ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστης γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καί αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσίν ἀρεταί· σωφροσύνην δέ καί φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην, καί ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δέ καί πολυπειρίαν ποθεῖ τίς, οἶδε τά ἀρχαῖα καί τά μέλλοντα εἰκάζειν· ἐπίσταται στροφάς λόγων, καί λύσεις αἰνιγμάτων, σημεῖα καί τέρατα προγινώσκει, καί ἐκβάσεις καιρῶν καί χρόνων. Καί πᾶσι σύμβουλός ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐ-

www.tezaurliturgic.ro

στιν ἐν αὐτῇ, καί εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διά τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καί ἐδεήθην αὐτοῦ, καί εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεέ πατέρων, καί Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τά πάντα ἐν λόγῳ σου, καί τῇ σοφίᾳ σου κατασκευάσας τόν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπό σοῦ γενομένων κτισμάτων, καί διέπῃ τόν κόσμον ἐν ὁσιότητι καί δικαιοσύνῃ, δός μοι τήν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καί μή μέ ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγώ δοῦλος σός, καί υἱός τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτήν ἐξ ἁγίου κατοικητηρίου σου, καί ἀπό θρόνου δόξης σου· ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστον ἐστι παρά σοί· καί ὁδηγήσῃ με ἐν γνώσει, καί φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοί γάρ θνητῶν πάντες δειλοί, καί ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ

### Ἦχος α'.

Τήν σοφίαν φιλήσας, ἐραστής τοῦ κάλλους αὐτῆς ἐγένου, κατά τήν ἁγιόφθογγον ῥῆσιν, Ἱερομύστα Εὐστάθιε· καί τῶν ἀγαθῶν αὐτῆς πλησθείς, τῶν ἐφετῶν τό ἀκρότατον ἐθεράπευσας, καί τῆς θείας φιλοσοφίας, τούς καρπούς ἐγεώργησας, καί ποιμήν ὅσιος, κατά Παῦλον ὤφθης, τῆς Ἐκκλησίας τοῦ Θεοῦ· Ὅθεν Θεσσαλονίκη ἡ πόλις σου, ἀγαλλιᾶται τοῖς σοῖς προτερήμασι, καί τήν ἁγίαν μνήμην σου, ἑορτάζουσα βοᾷ σοι· Διά παντός ὑπέρ ἡμῶν ἱκέτευε Πάτερ ἁγιώτατε.

### Ἦχος β'.

Τῶν ἐντολῶν τοῦ Κυρίου, ἐν ταῖς ψυχαῖς τῶν εὐσεβῶν, καλλιεργήσας τόν σπόρον, πολύν καρπόν προσήγαγες, τῷ Ἀρχηγῷ τῆς ζωῆς, Ἱεράρχα Εὐστάθιε· ἐν πάσῃ ἐγκρατείᾳ γάρ, ἱερατεύων τῷ Χριστῷ, τῆς εὐσεβείας ἱεροφάντης ἔνθεος, καί τῆς Ἐκκλησίας στῦλος καί ἑδραίωμα, ἀληθῶς ἀνεδείχθης· Ἀποστολικοῖς γάρ, τρόποις ἐκφαίνεις, τήν ἐν σοί λαμπρότητα, καί πρεσβεύεις ὑπέρ τῶν τιμώντων σε.

### Ἦχος γ'.

Ἱεραρχίας τήν στολήν, ἐπινεύσει θείᾳ ἠμφιεσμένος, λόγῳ σοφίας ἀμφιλαφοῦς καί ἀμέμπτῳ πολιτείᾳ, τήν Ἐκκλησίαν φαιδρύνεις Εὐστάθιε· καί τούς υἱούς αὐτῆς ἐπί λειμῶνας ἀειθαλεῖς ποιμάνας, πρός τάς ἄνω αὐλάς ὡδήγησας, θείῳ Πνεύματι λαμπόμενος· καί νῦν τῶν πόνων τά γέρα δρεπόμενος, καί Χριστῷ παριστάμενος, ἀδιαλείπτως πρέσβευε Πάτερ ὑπέρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος δ'.

Τῶν ἀρετῶν τῇ πράξει, ὁλοτρόπως κοσμούμενος, πρός θεωρίας ἤρθης ἀκρώρειαν, Ἱερομύστα Πάτερ Εὐστάθιε· τῆς γάρ σαρκός νεκρώσας τό φρόνημα, τῆς ἀϊδίου ζωῆς σκεῦος εὔχρηστον ὤφθης, καί τῆς ποικίλης σοφίας ἐνδιαίτημα· καί τόν ἄδυτον γνόφον ὑπελθών, πᾶσι μεταδέδωκας, τῶν καλῶν ὧν ἠξίωσαι, θεωθείς ἐν μεθέξει, ὡς Θεοῦ θεράπων ἐνθεώτατος.

### Δόξα. Ἦχος ὁ αὐτός.

Τόν Ἱεράρχην τοῦ Χριστοῦ, καί τῆς Θεσσαλονικέων Ἐκκλησίας ποιμενάρχην γνήσιον, καί ὁδηγόν θεοειδῆ, Εὐστάθιον τόν μέγαν, ὕμνοις καί ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν· Ἀποστολικήν γάρ ἔχων ζωήν, καταλλήλως ἱερούργησε, τό Εὐαγγέλιον Χριστοῦ, ἐν λόγῳ καί ἔργῳ καί ἀναστροφῇ, καί σοφίᾳ παντοδαπεῖ· τά πάντα γάρ ἀνέθετο Κυρίῳ, ᾧ καί ἠκολούθησεν ἀμέμπτως, ἐν ὁσιότητι καί δικαιοσύνῃ, καί πρεσβεύει ἀπαύστως σωθῆναι τάς ψυχάς ἡμῶν.

### Καί νῦν. Ὁ αὐτός.

Τοῦ τιμίου Σταυροῦ Χριστέ τήν ἐνέργειαν, προδιατυπώσας Μωϋσῆς, ἐτροπώσατο τόν ἐναντίον Ἀμαλήκ, ἐν τῇ ἐρήμῳ Σινᾶ· ὅτε γάρ ἐφήπλου τάς χεῖρας, Σταυροῦ τόν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός· νυνί τῶν πραγμάτων ἡ ἔκβασις εἰς ἡμᾶς πεπλήρωται. Σήμερον Σταυρός ὑψοῦται, καί δαίμονες φυγαδεύονται. Σήμερον ἡ κτίσις πᾶσα ἐκ τῆς φθορᾶς ἠλευθέρωται· πάντα γάρ διά Σταυροῦ ἐπέλαμψεν ἡμῖν τά χαρίσματα· διό γηθόμενοι πάντες, προσπίπτομέν σοι, λέγοντες· Ὡς ἐμεγαλύνθη τά ἔργα σου Κύριε, δόξα σοι.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ
## ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἱεραρχῶν καλλονή, Θεσσαλονίκης ὁ ποιμὴν ὁ περίδοξος, ἁπάσης τῆς Ἐκκλησίας, μυσταγωγός ἱερός, ὡς πεπληρωμένος θείας γνώσεως· φωστήρ ὁ ἀείφωτος, τῆς σοφίας τῆς κρείττονος, βίου ἀμέμπτου, θαυμαστή ὑποτύπωσις, ἐνδιαίτημα, τῶν χαρίτων τοῦ Πνεύματος· στῦλος ὁ ἀρραγέστατος, δογμάτων ὀρθότητος, ὁ ἐκριζῶν τάς ἀκάνθας, πάσης κακίας τῷ λόγῳ σου· Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ.: Τό στόμα μου λαλήσει σοφίαν...

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ διαλάμψας εὐσεβείας ταῖς πράξεσι, καί βίῳ καθαρωτάτῳ, καί ταπεινώσει ψυχῆς, τοῦ Εὐαγγελίου τήν λαμπρότητα, ἐκφήνας Εὐστάθιε, ὡς θεράπων θερμότατος, καί ὑπηρέτης, τοῦ τῶν ὅλων δεσπόζοντες, τοῦ ἀξίως σε, Ἱεράρχα δοξάσαντος· ᾧπερ παρέστης Ἅγιε, τελέσας τόν δρόμον σου, φιλοσοφίᾳ τελείᾳ, καί ἀρετῶν ἀναβάσεσιν, ἀπαύστως πρεσβεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ.: Στόμα δικαίου μελετήσει σοφίαν, καί ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Ηρθης ὡς ὑποφήτης Θεοῦ, εἰς ἀρετῶν περιωπήν ἱερώτατε, καί ἔλαμψας ἐν τῷ κόσμῳ, ὡς Ἱεράρχης σοφός, καί τοῦ Παρακλήτου θεῖον ὄργανον, Εὐστάθιε Ὅσιε, Ἐκκλησίας ἀγλάϊσμα, ἠθῶν ἀμέμπτων, φυτοκόμε πανάριστε, καί ὑπόδειγμα, καρτερίας καί πίστεως. Ὅθεν σέ μακαρίζομεν, τελοῦντες τήν μνήμην σου, καί ἐκβοῶντές σοι Πάτερ· Μή διαλίπῃς ἑκάστοτε, Χριστόν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β'.

Τόν ἐν σοφίᾳ θείᾳ φιλόσοφον, καί ἐν Ἱεράρχαις θεόληπτον, Εὐστάθιον τόν μέγαν, ὡς τοῦ Εὐαγγελίου ἐργάτην γνήσιον, ἀξίως τιμήσωμεν· Ἀποστολικήν γάρ χάριν δεξάμενος, καταλλήλως τήν ἄνωθεν περιεζώσατο δύναμιν· καί ψυχῶν οἰκονόμος γεγονώς, πολλούς προσήγαγε τῷ Σωτῆρι, ὡς θυσίαν εὐπρόσδεκτον, τῷ παρέχοντι δι' αὐτοῦ, ἡμῖν πταισμάτων ἄφεσιν.

Καί νῦν. Ὁ αὐτός.

Σήμερον προέρχεται ὁ Σταυρός τοῦ Κυρίου, καί πιστοί εἰσδέχονται αὐτόν ἐκ πόθου, καί λαμβάνουσιν ἰάματα ψυχῆς τε καί σώματος, καί πάσης μαλακίας. Αὐτόν ἀσπασώμεθα τῇ χαρᾷ καί τῷ φόβῳ· φόβῳ διά τήν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δέ διά τήν σωτηρίαν, ἥν παρέχει τῷ κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγείς Χριστός ὁ Κύριος, ὁ ἔχων τό μέγα ἔλεος.

Νῦν ἀπολύεις, τό Τρισάγιον, καί τό Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχύ προκατάλαβε.

Σοφίας ταῖς χάρισι, κεκοσμημένος λαμπρῶς, ποιμήν ἐνθεώτατος, τῆς Ἐκκλησίας Χριστοῦ, ἐδείχθης Εὐστάθιε. Ὅθεν Θεσσαλονίκη, ἡ ἁγία σου ποίμνη, ὕμνοις σε μακαρίζει, καί συμφώνως βοᾷ σοι· Ἱκέτευε Χριστόν τόν Θεόν, ὑπέρ ἡμῶν Πάτερ Ὅσιε.

Τῆς Ἑορτῆς.

Σῶσον Κύριε τόν λαόν σου...

Ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τόν τάφον σου Σωτήρ.

Φωτί τῶν ἀρετῶν, μυστικῶς διαλάμπων, σοφός ἀρχιερεύς, καί ποιμήν θεοφόρος, ἐδείχθης θείῳ Πνεύματι, Ἱεράρχα Εὐστάθιε, καί ἐποίμανας, θεοπρεπῶς τούς σούς ἄρνας· ὅθεν σήμερον, τήν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ τίμιος Σταυρός, τό σωτήριον ὅπλον, ὁ φύλαξ τῶν πιστῶν, καί ἑδραίωμα θεῖον, προτίθεται τοῖς πέρασιν, ἁγιάζων τά σύμπαντα. Τούτῳ ᾄσωμεν, ἐν εὐφροσύνῃ καρδίας, νῦν μεθέορτον, ὕμνον πιστῶν αἱ χορεῖαι, Χριστόν μεγαλύνοντες.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.

Ἱεράρχα Κυρίου Πάτερ Εὐστάθιε, Θεσσαλονίκης τό κλέος καί ἀντιλήπτωρ θερμός, καί σοφός μυσταγωγός τοῦ θείου Πνεύματος, σύν Ἀποστόλοις ἱεροῖς, καί Ὁσίοις ἐκλεκτοῖς, ἱκέτευε τήν Τριάδα, διδόναι πταισμάτων λύσιν, τοῖς ἑορτάζουσι τήν μνήμην σου.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Τό σωτήριον ξύλον καί πανσεβάσμιον, ἐν ᾧ Χριστός προσηλώθη εἰς σωτηρίαν ἡμῶν, προσκυνήσωμεν πιστοί ἁγνοῖς ἐν χείλεσιν· ὅτι ὑψώθη ἱερῶς, ἱερέων ταῖς χερσί, παρέχων ἑνί ἑκάστῳ, ἁγιασμόν καί εἰρήνην, καί φωτισμόν καί θεῖον ἔλεος.

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ.δ'. Τήν Σοφίαν καί Λόγον.

Τήν σοφίαν ποθήσας ἀπό ψυχῆς, καταλλήλως διέπρεψας ἐπί γῆς, καί σκεῦος ἐπάξιον, ἀρετῶν τελειότητι, καί ἱερόν δοχεῖον, ἐγένου τοῦ Πνεύματος, καί θεῖος Ἱεράρχης, τῇ ψήφῳ τῇ ἄνωθεν· ὅθεν ἐπί χλόην, εὐσεβείας ποιμάνας, τήν ποίμνην σου Ὅσιε, κατ' ἀξίαν δεδόξασαι, Ἱεράρχα Εὐστάθιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Τό πανάγιον ξύλον τό τοῦ Σταυροῦ, κεκρυμμένον τό πάλαι ὑπό τήν γῆν, Ἑλένη ἡ πάνσεμνος, βασιλίς ὡς ἀνεύρατο, ἐγνώρισε τοῖς πᾶσι, τῇ νεύσει τοῦ κρείττονος, ἐμφαίνον τοῖς ἐν κόσμῳ, Χριστοῦ τήν Ἀνάστασιν· Ὅθεν ἐν τῇ τούτου, παναγίᾳ ὑψώσει, τόν νοῦν ἀνυψώσωμεν, πρός Χριστόν τόν φιλάνθρωπον, εὐλαβῶς ἀνακράζοντες· Δέσποτα Χριστέ ὁ Θεός, ὁ ἐν τούτῳ προσπαγείς ὡς ἄνθρωπος, τούς αὐτόν προσκυνοῦντας, σῶσον πάντας ὡς εὔσπλαγχνος.

Τό α' Ἀντίφωνον τοῦ δ' ἤχου
καί τό Προκείμενον.

**Τό στόμα μου λαλήσει σοφίαν, καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.**

Στίχ.: Ἀκούσατε ταῦτα πάντα τά ἔθνη...

Εὐαγγέλιον Ἱεραρχικόν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...
Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

www.tezaurliturgic.ro

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ.: Ἐλέησόν με ὁ Θεός κατά τό μέγα...

Ὅσιε Πάτερ Ἱεράρχα Εὐστάθιε, τοῦ Σωτῆρος Χριστοῦ μιμητής γενόμενος, τόν Σταυρόν αὐτοῦ πανσόφως ἐβάστασας, καί τύπος καί παράδειγμα πολλοῖς, ἐγένου πρός ἀρετήν. Καί νῦν τῆς μεγαλοπρεποῦς δόξης κατατρυφῶν, ἐν οὐρανίοις σκηνώμασι, πρέσβευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός...

Εἶτα οἱ Κανόνες, τῆς Ἑορτῆς καί τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:

«Εὐσταθίῳ μέλισμα τῷ θεηγόρῳ». Γερασίμου.

Ὠδή α'. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ἔχων παρρησίαν πρός Χριστόν, Ἀρχιεράρχα Εὐστάθιε Ὅσιε, φωτισμόν μοι αἴτησαι, τόν σκοτασμόν τοῦ νοός μου ἐλαύνοντα, ὅπως ἀνυμνήσω, τόν ἀξιέπαινον βίον σου.

Ὕψος ἀρετῶν ἀναδραμών, ὡς τῆς σαρκός σου νεκρώσας τό φρόνημα, σκεῦος θείου Πνεύματος, καί ἐπιπνοίας τῆς θείας θησαύρισμα, ἀληθῶς ἐδείχθης, Πάτερ Εὐστάθιε Ὅσιε.

Σῶμα καί ψυχήν ἐκκαθαρθείς, τῆς τῶν παθῶν θεοφόρε συγχύσεως, θείαις ἐπιδόσεσι, τῆς ἐναρέτου ζωῆς σου Εὐστάθιε, ἄνωθεν ἐδέξω, τόν φωτισμόν τόν τοῦ Πνεύματος.

Θεοτοκίον.

Τέτοκας Θεόν ὑπερφυῶς, τῷ καθ' ἡμᾶς ὁμοιώματι Ἄχραντε, καί παρθένος ἔμεινας, μετά τόν τόκον ἁγνή ὡς ἠθέλησεν, ὁ τεχθείς ἀφράστως, ἐκ τῶν ἀχράντων αἱμάτων σου.

Ὠδή γ'. Ὁ μόνος εἰδώς.

Ἁγίως ἀνύων τήν ζωήν, ἁγιωσύνην ἔσχηκας, καί πολιτείαν Πάτερ πανθαύμαστον, ὡς τετρωμένος τῷ θείῳ ἔρωτι, ἅγιε Εὐστάθιε, καί Ἁγίων σύσκηνος, μετά τέλος τό ἅγιον γέγονας.

Θεράπων Θεοῦ θεοειδής, Εὐστάθιε γενόμενος, ἀσκητικοῖς σου καμάτοις Ὅσιε, καί ἐναρέτου ζωῆς ὑπόδειγμα, Ἱεράρχης ἔνθεος, Ἐκκλησίας πέφηνας, Ἀποστόλων τόν ζῆλον μιμούμενος.

Ἱέρευσας Πάτερ εὐσεβῶς, Χριστῷ τῷ Παντοκράτορι, ἄξιον δείξαντι σε Εὐστάθιε, Θεσσαλονίκης Ἱεράρχην, καί αὐτῷ προσήγαγες, θῦμα ὡς εὐπρόσδεκτον, τά τοῦ βίου σου Πάτερ παλαίσματα.

Θεοτοκίον.

Ὡς Μήτηρ πανάφθορος Χριστοῦ, Παρθένε Παναμώμητε, φθοροποιῶν με παθῶν ἀπάλλαξον, καί μετανοίᾳ γνησίᾳ κάθαρον, τήν ἐσπιλωμένην μου, Δέσποινα διάνοιαν, ταῖς πολλαῖς ἁμαρτίαις καί πάθεσι.

Κάθισμα.

Ἦχος γ'. Τήν ὡραιότητα.

Χρίσμα τό ἅγιον, Πάτερ δεξάμενος, ὡς καθαρώτατος, ψυχῇ καί σώματι, Ἀρχιερεύς περιφανής ἐδείχθης Θεσσαλονίκης· ἥτις ἑορτάζουσα, τήν πανίερον μνήμην σου, σήμερον ἀγάλλεται, καί βοᾷ σοι Εὐστάθιε· Ὡς ἔχων παρρησίαν Κυρίῳ, πρέσβευε ὑπέρ τῶν σῶν τέκνων.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἆσμα μεθέορτον, τῇ ἀνυψώσει σου, Σταυρέ πανάγιε, πιστῶς προσᾴδομεν, καί ἐκβοῶμεν ἐκ ψυχῆς τῷ πάντων Θεῷ καί Κτίστῃ· Δέσποτα Φιλάνθρωπε, ὁ Σταυρόν τε καί θάνατον, δι' ἡμᾶς ὡς ἄνθρωπος, ὑπομείνας δι' ἔλεος, ἐλέησον καί σῶσον Οἰκτίρμον, τούς προσκυνοῦντάς σου τήν ἔγερσιν.

Ὠδή δ'. Ὄρος σε τῇ χάριτι.

Μύστης ἐνθεώτατος, Τριάδος γενόμενος, ὡς τῆς σοφίας ἐραστής, καί τῇ καρδίᾳ καθαρός, Εὐστάθιε Ὅσιε, ἱερουργεῖς τό τοῦ Χριστοῦ Εὐαγγέλιον, λόγῳ καί ἔργῳ καί θείαις σου πράξεσι.

Ἔλαμψας ὡς ἥλιος, Εὐστάθιε Ὅσιε, ἐν Ἱεράρχαις τοῦ Χριστοῦ, ἀγγελικῇ σου βιοτῇ· καί νῦν ταῖς λαμπρότησι, ταῖς τῶν Ἁγίων σκηνούμενος Ἅγιε, αἴτει ἡμῖν φωτισμόν τε καί ἔλεος.

Λάμψας ἐν τῇ ποίμνῃ σου, ὡς ἄστρον πολύφωτον, τῶν ἀρετῶν ταῖς ἀστραπαῖς, καί τῆς σοφίας ταῖς αὐγαῖς, Εὐστάθιε πάνσοφε,

www.tezaurliturgic.ro

τόν σκοτασμόν τῶν παθῶν ἀπεδίωξας, ἐκ τῶν ψυχῶν τῶν πιστῶς προσιόντων σοι.

**Θεοτοκίον.**

Ιασαι Πανάμωμε, νοσοῦσαν ἀνίατα, ταῖς τῶν παθῶν ἐπαγωγαῖς, τήν παναθλίαν μου ψυχήν, καί φόβῳ τῷ κρείττονι, ὁδήγησόν με πρός βίον ἐνάρετον, ἵνα σωθείς διά σοῦ μεγαλύνω σε.

**Ὠδή ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.**

Σωτηρίας ὁμαλίζων τήν τρίβον τῇ ποίμνῃ σου, πολλούς ἴθυνας Κυρίῳ διδαχαῖς ταῖς ἁγίαις σου, ὡς ποιμήν σοφέ ἀληθινός, καί μιμητής ἐν πᾶσι, τοῦ Ἀρχιποίμενος Ὅσιε.

Μυστηρίων οὐρανίων ὑπηρέτης γενόμενος, καί τῆς θείας εὐσπλαγχνίας ὑποφήτης Εὐστάθιε, ἵλεων ἀπέργασαι ἡμῖν, Χριστόν τόν ζωοδότην, ταῖς πρός αὐτόν ἱκεσίαις σου.

Απαθείᾳ διαλάμπων καί βίου χρηστότητι, Ἱεράρχα θεοφόρε Εὐστάθιε Ὅσιε, γέγονας μεσίτης εὐσεβῶν, πρός τόν Θεόν τῶν ὅλων, ὡς συμπαθείας ἀνάπλεως.

**Θεοτοκίον.**

Τόν Ὑπέρθεον τεκοῦσα ὑπέρ φύσιν ἐν σώματι, τῆς ἀνθρώπων σωτηρίας ὤφθης πρόξενος Ἄχραντε· ὅθεν καταξίωσον κἀμέ, Παρθένε σωτηρίας, ἐκ τῶν χειρῶν τοῦ ἀλάστορος.

**Ὠδή στ'. Ἐκύκλωσεν ἡμᾶς.**

Ωράθης ἱερέων ἐγκαλλώπισμα, Ἀρχιερεῦ θεόληπτε, ὥσπερ θεῖος Ἱεράρχης καί σοφός, Πάτερ ἱερώτατε Εὐστάθιε, καί τῶν πιστῶν, μέγας μεσίτης πρός τόν Θεόν ἡμῶν.

Θαυμάτων δεδεγμένος τήν ἐνέργειαν, παρά Χριστοῦ Εὐστάθιε, ἐθεράπευσας πολλούς νόσων δεινῶν, πίστει προσελθόντας τοῖς λειψάνοις σου· σύ γάρ ἰσχύν, πᾶσι παρέχεις καί ἀπολύτρωσιν.

Εν ἔργοις ἱεροῖς καί θείαις πράξεσιν, ἐκόσμησας Εὐστάθιε, τήν ζωήν σου ὡς σοφός ἀρχιερεύς, καί πρός τήν ζωήν τήν ἀτελεύτητον, ἤρθης λαμπρῶς, τῶν ὑπέρ λόγον καταξιούμενος.

**Θεοτοκίον.**

Ηλίου νοητοῦ νεφέλη ἔμψυχος, Παρθένε Παναμώμητε, τήν ψυχήν μου σκοτισθεῖσαν χαλεπῶς, λόγοις καί ἐννοίαις τοῦ ἀλάστορος, τῷ σῷ φωτί, τῆς συνεχούσης σκοτίας με λύτρωσαι.

**Κοντάκιον.**

**Ἦχος δ'. Ἐπεφάνης σήμερον.**

Ως ποιμήν θεόσοφος Θεσσαλονίκης, ἱερέ Εὐστάθιε, τῇ ἐναρέτῳ σου ζωῇ, καί τῆς σοφίας ταῖς χάρισι, καταπυρσεύεις ἀεί τάς ψυχάς ἡμῶν.

**Οἶκος.**

Καθαρθείς ἀρετῶν ἐπιδόσεσι, τῆς σοφίας εὐάρμοστον ὄργανον, ἀνεδείχθης παμμάκαρ Εὐστάθιε, καί θεράπων Κυρίου θερμότατος· καί θείᾳ ψήφῳ προκριθείς, ἀρχιερεύς θεοειδής, καί ποιμενάρχης εὐκλεής, τῆς Ἐκκλησίας ὤφθης· διό Θεσσαλονίκη ἡ πόλις ἡ θαυμαστή, τῇ σῇ ποιμανσίᾳ ἀγάλλεται, καί τοῖς σοῖς προτερήμασι σεμνύνεται, καί θεοπρεπῶς ἐκπαιδεύεται, καί πρός Χριστόν ἀσφαλῶς καθοδηγεῖται Ὅσιε Πάτερ· ταύτης γάρ, τήν Ἐκκλησίαν καλῶς ἐποίμανας, καί τῶν τῇδε μεταστάς, καί τῷ Σωτῆρι ἐν δόξῃ παραστάς, καταπυρσεύεις ἀεί τάς ψυχάς ἡμῶν.

**Συναξάριον.**

Τῇ 20ῇ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Εὐσταθίου Ἀρχιεπισκόπου Θεσσαλονίκης.

Στίχ.: Καί λόγῳ καί πράξει ὁμοῦ καί σοφίᾳ, Εὐστάθιε ἔλαμψας τῇ Ἐκκλησίᾳ.

Εὐσταθίοιο ἄφθιτον κλέος ἐσθλοῦ χρεών ἀείδειν.

Οὗτος ἦν ἐκ τῆς τῶν πόλεων βασιλίδος, ἀκμάσας περί τόν δωδέκατον αἰῶνα. Φύσεως ὤν δεξιᾶς καί καλῶς ἀναχθείς, ἐγένετο κάτοχος σοφίας λιπαρᾶς καί ἀμφιλαφοῦς, βίῳ καθαρῷ καί σεμνοτάτῳ διαπρέπων, ὥστε γενέσθαι τοῖς πᾶσι περιφανής καί αἰδέσιμος, ἐν τε λόγῳ καί σοφίᾳ καί πᾶσιν ἤθεσι χρηστοῖς. Τῇ Μονῇ τῆς Ἁγίας Εὐφημίας καρείς μοναχός καί τῇ τοῦ Ἁγίου Φλώρου ἀγωνισάμενος τῇ

κατά Χριστόν ἀκροτάτῃ φιλοσοφίᾳ, καθήγνισεν ἑαυτόν, καί πλήρης ἐγένετο τῆς ἄνωθεν ἐπιπνοίας, καί ῥήτωρ καί διδάσκαλος τῶν ἱερῶν κεχρημάτικεν. Ἔνθεν τῇ ἄνωθεν ἐπινεύσει, τῇ τοῦ αὐτοκράτορος Μανουήλ α' Κομνηνοῦ ἱερᾷ ἐφέσει καί ὑποδείξει, ἐγένετο ἀρχιερεύς, καί τῆς ἐν Θεσσαλονίκῃ ἁγίας Ἐκκλησίας τούς οἴακας ἐγχειρισθείς, ὁσίως καί Εὐαγγελικῶς ἐποίμανε τήν λαχοῦσαν αὐτῷ λογικήν ποίμνην, διά λόγου καί πράξεως, καί πολιτείας ἁγίας. Καί καλῶς διαγαγών τήν δοθεῖσαν αὐτῷ ἐξουσίαν, μετέστη πρός αἰωνίους μονάς, τόν μισθόν τῶν καμάτων παρά τοῦ δικαίου μισθαποδότου ληψόμενος.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ς'. Σέ νοητήν.

Γνώσει Θεοῦ, καταλαμπρυνόμενος, ἀρχιεράρχης ἱερός, Ἐκκλησίας τῆς τοῦ Χριστοῦ, γέγονας Εὐστάθιε, τῆς ἐν Θεσσαλονίκῃ τε, μεθ' ἧς καί ψάλλων ἐκραύγαζες· Ὁ αἰνετός τῶν Πατέρων, Θεός καί ὑπερένδοξος.

Ὄμβροις σοφέ, διδαχῶν κατήρδευσας, πρός εὐκαρπίαν μυστικήν, ὥσπερ ἄρουραν λογικήν, τήν ἁγίαν ποίμνην σου, Ἅγιε Εὐστάθιε, καί ψάλλειν ταύτην προέτρεπες, καί ἀνυμνεῖν τῶν Πατέρων, Θεόν τόν ὑπερένδοξον.

Ῥῦσαι ἡμᾶς, πάσης περιστάσεως, καί πειρασμῶν παντοδαπῶν, ταῖς πρεσβείαις σου πρός Χριστόν, Ἅγιε Εὐστάθιε, τούς ἀνευφημοῦντάς σε, καί εὐσεβῶς μεγαλύνοντας, τόν αἰνετόν τῶν Πατέρων, Θεόν καί ὑπερένδοξον.

Θεοτοκίον.

Ὤφθης Θεοῦ, θρόνος ὑψηλότατος, τοῦτον τεκοῦσα ἐν σαρκί, καί κρατοῦσα ἐν ταῖς χερσί, τόν ἀπερινόητον, Κόρη ὥσπερ νήπιον, ὅν ἐκδυσώπει δεόμεθα, τοῦ οἰκτειρῆσαι καί σῶσαι, τούς σέ ὑμνοῦντας Ἄχραντε.

Ὠδή η'. Ὅν φρίττουσιν Ἄγγελοι.

Γενναίως ἠγώνισαι, ποιμήν ὡς ἀληθής, ὑπέρ τῆς λαχούσης σοι, ποίμνης παρά Θεοῦ, Εὐστάθιε Πάτερ, Εὐλογεῖτε Χριστόν, καί ὑπερυψοῦτε, βοῶν εἰς τούς αἰῶνας.

Ἐνθέοις καμάτοις σου, τήν θείαν σου στολήν, πλειόνως ἐλάμπρυνας, Εὐστάθιε σοφέ, μεθ' ἧς καί εἰσῆλθες, εἰς τόν ἄνω ναόν, τῷ Χριστῷ προσφέρων, τήν μυστικήν θυσίαν.

Ῥημάτων τῶν θείων σου, ὁ θεῖος γλυκασμός, διώκει Εὐστάθιε, πικρίαν τῶν παθῶν· σοφός ἱερεύς γάρ, καί ποιμήν ἱερός, καί οἰκονόμος ὤφθης, ψυχῶν Ἱεράρχα.

Θεοτοκίον.

Ἀγνοίας κειμήλιον, καί εὔοσμος λειμών, ὑπάρχουσα Πάναγνε, ὡς τέξασα Χριστόν, ἁγνόν με συντήρει, Ἁγνή καί καθαρόν, πάσης δυσωδίας, ἐχθροῦ τοῦ βορβορώδους.

Ὠδή θ'. Τήν ζωοδόχον πηγήν.

Στόμα σοφίας ἀνάπλεων ἔσχηκας, καί εὐσεβείας ἐκλάμπων τοῖς δόγμασιν, ποιμενάρχης ἔνδοξος, Ἅγιε Εὐστάθιε, Θεσσαλονικέων τῆς θείας Ἐκκλησίας, ὡς ἀληθῶς ἐχρημάτισας Ὅσιε.

Ἱεραρχῶν ἱερόν ἐγκαλλώπισμα, καί τῶν ποιμένων κανών ἀπαρέγκλιτος, ἐν Ἁγίῳ Πνεύματι, πέφηνας Εὐστάθιε, καί θεοφρόνως τελέσας σου τόν δρόμον, τῆς αἰωνίου ζωῆς κατηξίωσαι.

Μέγας ἐν λόγῳ γενόμενος Ὅσιε, καί ταπεινός ἀληθῶς τῷ φρονήματι, πάντας ἐξεπαίδευσας, μιμεῖσθαι ἐν ἅπασι, τήν τοῦ Σωτῆρος ταπείνωσιν ἁγίαν, τήν ἀνυψοῦσαν ἡμᾶς εἰς οὐράνια.

Ὁ τῆς Τριάδος θεράπων ὁ γνήσιος, Θεσσαλονίκης δέ πρόεδρος ἔνθεος, Ἅγιε Εὐστάθιε, τό παρόν μου ψέλλισμα, οἷα μικρόν δῶρον δέξαι καί ἐξαίτει, τήν τῶν ἀμέτρων πταισμάτων μου ἄφεσιν.

Θεοτοκίον.

Ὑπερφυῶς τόν Θεόν σωματώσασα, ὡς ἐκλεκτή πρό αἰώνων καί ἄμωμος, Κόρη Ἀειπάρθενε, τόν Ἀδάμ ἀπήλλαξας, τῆς αἰωνίου ἀρᾶς καί καταδίκης, τόν Λυτρωτήν καί Σωτῆρα κυήσασα.

www.tezaurliturgic.ro

**Ἐξαποστειλάριον.**

**Γυναῖκες ἀκουτίσθητε.**

Ἐν Ἱεράρχαις ἔνδοξος, ὡς ἀληθῶς γενόμενος, Θεσσαλονίκης ποιμάντωρ, θεοειδὴς ἀνεδείχθης· καὶ λόγῳ τῆς σοφίας σου, καλῶς αὐτὴν ἐποίμανας· διό σε μακαρίζομεν, καὶ τὴν ἁγίαν σου μνήμην, Εὐστάθιε ἐκτελοῦμεν.

**Τῆς Ἑορτῆς. Ὅμοιον.**

Μεθέορτον νῦν αἴνεσιν, προσᾴδομεν Φιλάνθρωπε, τῇ παναγίᾳ ὑψώσει, τοῦ σοῦ Σταυροῦ τοῦ τιμίου, καὶ πίστει ἐκβοῶμέν σοι, οἱ ταπεινοὶ ἱκέται σου· Δίδου ἡμῖν συγχώρησιν, τῶν ἐσφαλμένων Οἰκτίρμον, τῇ τοῦ Σταυροῦ σου ὑψώσει.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν Στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

Τὸν Ἱεράρχην Κυρίου θεῖον Εὐστάθιον, τὸν τῆς Θεσσαλονίκης, θεοφόρον ποιμένα, καὶ στῦλον φωτοφόρον καὶ πρὸς Χριστόν, πρεσβευτὴν ἑτοιμότατον, ἀνευφημήσωμεν πάντες οἱ τὴν αὐτοῦ, ἱερὰν μνήμην γεραίροντες.

Σοφίας οἶκος τῆς θείας Πάτερ γενόμενος, τῇ θύραθεν παιδείᾳ, κεχρημένος πανσόφως, καὶ τοῦ Εὐαγγελίου μύστης σοφός, θεορρῆμον Εὐστάθιε, ἐν Ἱεράρχαις ἐδείχθης περιφανής, ὡς Χριστοῦ θεράπων γνήσιος.

Ταῖς ἀρεταῖς διαπρέπων Πάτερ Εὐστάθιε, τῆς Θεσσαλονικέων, Ἐκκλησίας ἁγίας, τοὺς οἴακας θεόθεν ἐγχειρισθείς, ὡς τοῦ Πνεύματος ὄργανον, ἐπὶ λιμένας ὡδήγησας τῆς ζωῆς, ἀσφαλῶς ταύτην μακάριε.

Διὰ παντὸς ἐκδυσώπει Πάτερ Εὐστάθιε, μετὰ τοῦ Δημητρίου, τοῦ κλεινοῦ Μυροβλύτου, ὁμοῦ καὶ Γρηγορίου τοῦ Παλαμᾶ, ὑπὲρ ταύτης τῆς ποίμνης σου, καὶ σὺν τοῖς λάμψασιν ὧδε ἐν ἀρετῇ, καὶ ζωῆς θείας λαμπρότητι.

**Δόξα. Ἦχος πλ. α'.**

Ὅσιε Πάτερ, Ἱεράρχα Εὐστάθιε, Εὐαγγελικῇ πολιτείᾳ ἐκλάμψας, Ἀποστολικῷ ζήλῳ ἐποίμανας, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν· σεαυτὸν γὰρ παρέστησας, τῆς εὐσεβείας ἀνεπαίσχυντον ἐργάτην, καὶ τύπον καλῶν ἔργων, ὡς μυσταγωγὸς καὶ οἰκονόμος, τῆς ποικίλης τοῦ Πνεύματος χάριτος. Καὶ νῦν τῷ βήματι Χριστοῦ παριστάμενος, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν. Τῆς Ἑορτῆς.**

Δεῦτε λαοί, τὸ παράδοξον θαῦμα καθορῶντες, τοῦ Σταυροῦ τὴν δύναμιν προσκυνήσωμεν· ὅτι ξύλον ἐν Παραδείσῳ θάνατον ἐβλάστησε· τὸ δέ, τὴν ζωὴν ἐξήνθησεν, ἀναμάρτητον ἔχον προσηλωμένον τὸν Κύριον, ἐξ οὗ πάντα τὰ ἔθνη, ἀφθαρσίαν τρυγῶντες, κραυγάζομεν· Ὁ διὰ Σταυροῦ θάνατον καταργήσας, καὶ ἡμᾶς ἐλευθερώσας, δόξα σοι.

## ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη. Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἁγ. Χρυσοστόμου, ιγ' Νοεμβρίου.

**Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον.**

Τῆς Θεσσαλονίκης σοφὸς ποιμήν, ὤφθης Ἱεράρχα, ὡς τοῦ Πνεύματος θησαυρός· ὅθεν σου τὴν μνήμην, χρεωστικῶς τελοῦντες, Εὐστάθιε παμμάκαρ, σὲ μακαρίζομεν.

**Δίστιχον.**

Ὕμνον Εὐστάθιε τόνδε σοι πλέξας,
Γεράσιμος αἰτεῖται τὴν ἀρωγήν σου.

www.tezaurliturgic.ro

# ΜΑΚΑΡΙΣΤΗΡΙΑ ΕΙΣ ΤΟΝ
# ΑΓΙΟΝ ΕΥΣΤΑΘΙΟΝ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Ἦχος γ΄. Αἱ γενεαί πᾶσαι.

Αἱ γενεαί πᾶσαι, μακαρίζομέν σε, Εὐστάθιε παμμάκαρ.

Αἱ γενεαί πᾶσαι, Εὐστάθιε τιμῶμεν, τήν μνήμην σου τήν θείαν.

**Κατ᾿ ἀλφάβητον.**

Ἄνωθεν ἐδέξω, σοφίας Πάτερ χῦμα, ὡς τοῦ Χριστοῦ θεράπων.

Βίῳ ἰσαγγέλῳ, Εὐστάθιε ἐμπρέψας, ἀξίως ἐδοξάσθης.

Γνώσει θεοσδότῳ, ἐκλάμπων Ἱεράρχα, ποιμήν σοφός ἐδείχθης.

Δόξα ἀνεδείχθης, τῆς Θεσσαλονικέων, τρισμάκαρ Ἐκκλησίας.

Ἔλαμψας ἐν κόσμῳ, ἐν λόγῳ καί σοφίᾳ Εὐστάθιε πλουσίᾳ.

Ζήσας ἐν τῷ κόσμῳ, ἀμέμπτῳ πολιτείᾳ, ἀξίως ἐδοξάσθης.

Ἥλιος καθάπερ, Ἱεραρχῶν ἐν μέσῳ, Εὐστάθιε ἐκλάμπεις.

Θῦμα ὥσπερ θεῖον, προσήγαγες Κυρίῳ, Εὐστάθιε τόν βίον.

Ἱέρευσας ὁσίως, Τριάδι τῇ Ἁγίᾳ, Εὐστάθιε θεόφρον.

Κύριον δοξάσας, Εὐστάθιε τοῖς ἔργοις, δόξης μετέσχες θείας.

Λάμψας πολιτείᾳ, Εὐστάθιε ἀμέμπτῳ, ἡμᾶς Χριστῷ ἰθύνεις.

Μέγας ἐν σοφίᾳ, Εὐστάθιε ἐγένου, ὡς ἐραστής τῶν ἄνω.

Νοῦν Χριστοῦ ἐκτήσω, Εὐστάθιε ὡς ἔφη, ὁ θεηγόρος Παῦλος.

Ξύλου ἀπολαύων, ζωῆς ἡμᾶς λυτροῦσαι, θανάτου ἁμαρτίας.

Ὄρθρος εὐσεβείας, ἐν τῇ Θεσσαλονίκῃ, Εὐστάθιε ὡράθης.

Πόνων ἀπαλλάττεις, τούς σέ ὑμνολογοῦντας, Εὐστάθιε ποικίλων.

Ρήσεσιν ἁγίαις, Εὐστάθιε ἐκτρέφεις, τήν λογικήν σου ποίμνην.

Στήλη εὐσεβείας, καί ἐναρέτου βίου, Εὐστάθιε ἐφάνης.

Τείχισον λιταῖς σου, τήν λογικήν σου ποίμνην, σοφέ Ἀρχιεράρχα.

Ὕψωσον Κυρίῳ, τάς χεῖράς σου παμμάκαρ, ὑπέρ τῶν σέ ὑμνούντων.

Φώτισον τόν νοῦν μου, Εὐστάθιε τρισμάκαρ, φωτί τῶν πρεσβειῶν σου.

Χαίρει ἡ σή ποίμνη, Εὐστάθιε τιμῶσα, τήν ἱεράν σου μνήμην.

Ψάλλοντες ὑμνοῦμεν, τοῦ ἱεροῦ σου βίου, Εὐστάθιε τούς πόνους.

Ὤφθης Ἐκκλησίας, τῆς ἐν Θεσσαλονίκῃ, ποιμήν καί λαμπαδοῦχος.

**Δόξα. Τριαδικόν.**

**Ὑπέρθεε Θεότης, ἐλέησον τόν κόσμον, λιταῖς τοῦ Ἱεράρχου.**

**Καί νῦν. Θεοτοκίον.**

Ὑπέραγνε Παρθένε, ἡμῶν ἡ προστασία, σκέπε ἡμᾶς ἀπαύστως.

Γ.Μ.Μ.